# Fragmenta in epistulam ii ad Corinthios

{12 Kor 2,1-2} Τὸ μὴ πάλιν ἐν λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν. εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς. ἀντιπίπτον λύει διὰ τούτων· ἵνα γὰρ μήτις λέγῃ· εἰ βαρὺς εἶ καὶ φορτικὸς ἐπιδημῶν τῷ τῇ λύπῃ καταβαπτίζειν ἡμᾶς οὐδ' ὅλως παραγίνεσθαι δεῖ. φησὶν οὖν· καὶ μὴν διὰ τοῦτο παραγίνεσθαι δεῖ σημεῖον ποιούμενόν με τῆς πρὸς ἐμὲ ἀγάπης ὑμῶν τὸ τὴν ἐπιτίμησίν μου δριμέως ὑμῶν καθικνεῖσθαι. ἀναγκαίως οὖν πρὸς τοὺς ἀγαπῶντάς με φοιτητέον, ἵνα καὶ κοινωνήσω τοῦ κέρδους ὑμῖν. ἐπεὶ γὰρ ἡ λύπη ὑμῶν αὕτη χαρά μοι καὶ εὐφροσύνη ἀνυπέρθετος, ἀποδοτέον ὑμῖν ἐμαυτόν· ὡς ἂν συναγαλλομένους ὑμᾶς ἔξω τῆς ἀπὸ τῆς ὑμετέρας ἐγγινομένης μοι λύπης χαρᾶς συνθιασώτας λαμβάνων ὑμᾶς. Εἴπερ ἡ τούτων λύπη χαρᾶς αὐτῷ πρόξενος, κοινὴ δὲ ἡ τοῦ διδασκάλου χαρὰ πρὸς τοὺς μαθητάς, πῶς κεκριμένως αὐτῷ ἡ παραίτησις τῆς πρὸς αὐτοὺς ἐνδημίας; ἀλλά φαμεν ὅτι ἔτι ἀτελέστερον αὐτῶν διακειμένων συμπεριφέρεται τῇ ἀσθενείᾳ τῶν μαθητῶν, καὶ τοῖς φαινομένοις αὐτοῖς συνδιατίθησι τὸν λόγον, ἕλκων αὐτοὺς πανταχόθεν ὡς ἂν δύνηται καὶ ἐπισπώμενος πρὸς τὸ πειθήνιον ἑαυτῷ.

{12 Kor 5,4} Οὐχὶ διότι δεδοίκαμεν τὸν θάνατον, ἐπέρχεται δὲ ἡμῖν. διὰ τοῦτο στενάζομεν, ἀλλὰ στενάζομεν τὴν μετὰ δόξης ἀφθαρσίαν ἐπενδύσασθαι ἐπιποθοῦντες.

{12 Kor 12,4} Τὸ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι ἀκριβέστερον οἶμαι ἐπὶ τοῦ μή τινα ἀνθρώπων δύνασθαι τοιαῦτα λαλῆσαι ἐκλαβεῖν–ὡς καὶ ἐν τοῖς 661 Εὐαγγελίοις φησὶ περὶ αὐτοῦ τοῦ κυρίου, ὅτι ἦν κατ' ἐξουσίαν διδάσκων ἀλλ' οὐχ ὡς οἱ γραμματεῖς–ἢ ἐπὶ τοῦ μὴ πρὸς ἕτερον ἐκλαλῆσαι τὰ ἠκουσμένα. εἰ γὰρ τοῦτο, πῶς αὐτὸς οὗτος ὁ μηδενὶ ταῦτα ἐξειπεῖν διατεινόμενος, πολλὰ τούτων ἐν ταῖς προκειμέναις ἐπιστολαῖς παρατίθεται; τῷ γὰρ Χριστῷ μὴ κατὰ τὴν ἐν σαρκὶ ἐπιδημίαν μαθητευθεὶς πῶς φησιν· ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου, καὶ περὶ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω, καὶ ἄλλα τοιαῦτα. ἀλλ' οὐκ ἂν ἄλλοτε ταῦτα ἢ τότε ἤκουσεν. πῶς οὖν ἂν οὐκ ἐξῆν αὐτῷ ἐρεῖν, εἴρηκεν; οὐ τὸ μὴ ἄλλοις οὖν μὴ ἐξεῖναι ἐρεῖν τὰ ἠκουσμένα λέγει, ἀλλὰ τοιαῦτα εἶναι ταῦτά φησιν, καὶ οὕτως τὸ μεγαλεῖον τοῦ μυσταγωγοῦντος ἐπιφαίνοντα ὡς μόνου θεοῦ μεγαλοπρεπείας αὐτὰ καὶ εἶναι καὶ οἰηθῆναι, ἀλλ' οὐκ ἀνθρωπίνης εὐτελείας καὶ ταπεινότητος.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.